# Παρακλητικὸς Κανὼν τοῦ Ἁγίου Ἀθανασίου Επίσκοπου Χριστιανουπόλεως




**Ποιηθείς υπό μοναχού Γερασίμου Μικρογιαννανίτου).**
**Ευλογήσαντος του Ιερέως.**
**Ψαλμός ρμβ΄ (142)**

Κύριε εισάκουσον της προσευχής μου, ενώτισαι την δέησίν μου εν τη αληθεία σου, εισάκουσόν μου εν τη δικαιοσύνη σου.
Και μη εισέλθεις εις κρίσιν μετά του δούλου σου, ότι ου δικαιωθήσεται ενώπιόν σου πας ζων.
Ότι κατεδίωξεν ο εχθρός την ψυχήν μου. εταπείνωσεν εις γην την ζωήν μου.
Εκάθισέ με εν σκοτεινοίς, ως νεκρούς αιώνος. Και ηκηδίασεν επ’ εμέ το πνεύμα μου, εν εμοί εταράχθη η καρδία μου.
Εμνήσθην ημερών αρχαίων, εμελέτησα εν πάσι τοις έργοις σου, εν ποιήμασι των χειρών σου εμελέτων. Διεπέτασα προς σε τα χείρας μου. η ψυχή μου ως γη άνυδρός σοι.
Ταχύ εισάκουσόν μου, Κύριε, εξέλιπε το πνεύμα μου.
Μη αποστρέψεις το πρόσωπόν σου απ’ εμού, και ομοιωθήσομαι τοις καταβαίνουσιν εις λάκκον.
Ακουστόν ποίησον μοι το πρωί το έλεός σου, ότι επί σοι ήλπισα.
Γνώρισόν μοι, Κύριε, οδόν, εν η πορεύσομαι, ότι προς σε ήρα την ψυχήν μου

Εξελού με εκ των εχθρών μου, Κύριε. προς σε κατέφυγον, δίδαξόν με του ποιείν το θέλημά σου, ότι συ ει ο Θεός μου.

Το Πνεύμα σου το αγαθόν οδηγήσει με εν γη ευθεία. ένεκεν του ονόματός σου, Κύριε, ζήσεις με.
Εν τη δικαιοσύνη σου εξάξεις εκ θλίψεως την ψυχήν μου, και εν τω ελέει σου εξολοθρεύσεις τους εχθρούς μου. και απολείς πάντας τους θλίβοντας την ψυχήν μου, ότι εγώ δούλός σού ειμί.

**Ήχος δ΄**

**Θεός Κύριος και επέφανεν ημίν. ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.**

Στιχ. α΄. Εξομολογείσθε τω Κυρίω, και επικαλείσθε το όνομα το άγιον αυτού.

**Θεός Κύριος και επέφανεν ημίν. ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.**

Στιχ. β΄. Πάντα τα έθνη εκύκλωσάν με και τω ονόματι Κυρίου ημυνάμην αυτούς.

**Θεός Κύριος και επέφανεν ημίν. ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.**

Στιχ. γ΄. Παρά Κυρίου εγένετο αύτη, και έστι θαυμαστή εν οφθαλμοίς ημών.

**Θεός Κύριος και επέφανεν ημίν. ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.**

**Ήχος δ’. Ο υψωθείς εν τω Σταυρώ.**

Της αθανάτου μετασχώς ευκληρίας, ως Ιεράρχης Αθανάσιε θείος, και του Χριστού θεράπων δοκιμώτατος, πρέσβευε δεόμεθα τω Δεσπότη των όλων, πάσης ημάς ρύεσθαι συμφοράς, και ανάγκης, και πολυτρόπων Πάτερ πειρασμών, και των πταισμάτων, συγχώρησιν λάβωμεν.

**Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.**

Της αθανάτου μετασχώς ευκληρίας, ως Ιεράρχης Αθανάσιε θείος, και του Χριστού θεράπων δοκιμώτατος, πρέσβευε δεόμεθα τω Δεσπότη των όλων, πάσης ημάς ρύεσθαι συμφοράς, και ανάγκης, και πολυτρόπων Πάτερ πειρασμών, και των πταισμάτων, συγχώρησιν λάβωμεν.

**Και νυν και αεί και εις τους αιώνας των αιώνων. Θεοτόκιον.**

Ου σιωπήσομεν, ποτέ, Θεοτόκε, τας δυναστείας Σου λαλείν οι ανάξιοι, εί μη γαρ Συ προίστασο πρεσβέβουσα, τις ημάς ερρύσατο, εκ τοσούτων κινδύνων: Τις δε διεφύλαξεν εως νύν ελευθέρους: Ούκ αποστώμεν, Δέσποινα , εκ Σου, σους γαρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

**Ο Ν΄ (50) ΨΑΛΜΟΣ**

Ελέησόν με ο Θεός κατά το μέγα έλεός σου, και κατά το πλήθος των οικτιρμών σου, εξάλειψον το ανόμημά μου.
Επί πλείον πλύνον με από της ανομίας μου, και από της αμαρτίας μου καθάρισόν με.
Ότι την ανομίαν μου εγώ γινώσκω και η αμαρτία μου ενώπιόν μού εστί δια

παντός.
Σοι μόνω ήμαρτον, και το πονηρόν ενώπιόν σου εποίησα. όπως αν δικαιωθείς εν τοις λόγοις σου, και νικήσεις εν τω κρίνεσθαί σε.
Ιδού γαρ εν ανομίαις συνελήφθην, και εν αμαρτίαις εκίσσησέ με η μήτηρ μου.
Ιδού γαρ αλήθεια ηγάπησας. τα άδηλα και τα κρύφια της σοφίας σου εδήλωσάς μοι.
Ραντιείς με υσσώπω, και καθαρισθήσομαι. πλυνείς με και υπέρ χιόνα λευκανθήσομαι.
Ακουτιείς μοι αγαλλίασιν και ευφροσύνην. αγαλλιάσονται οστέα τεταπεινωμένα.
Απόστρεψον το πρόσωπόν σουαπό των αμαρτιών μου, και πάσας τας ανομίας μου εξάλειψον.
Καρδίαν καθαράν κτίσον εν εμοί ο Θεός, και πνεύμα ευθές εγκαίνισον εν τοις εγκάτοις μου.
Μη απορρίψεις με από του προσώπου σου, και το Πνεύμα σου το άγιον μη αντανέλεις απ’ εμού.
Απόδος μοι την αγαλλίασιν του σωτηρίου σου, και πνεύματι ηγεμονικώ στήριξόν με.
Διδάξω ανόμους τας οδούς σου, και ασεβείς επί σε επιστρέψουσι.
Ρύσαι με εξ αιμάτων ο Θεός, ο Θεός της σωτηρίας μου. αγαλλιάσεται η γλώσσα μου την δικαιοσύνην σου.
Κύριε, τα χείλη μου ανοίξεις, και το στόμα μου αναγγελεί την αίνεσίν σου.
Ότι, ει ηθέλησας θυσίαν, έδωκα αν. ολοκαυτώματα ουκ ευδοκήσεις.
Θυσία τω Θεώ πνεύμα συντετριμμένον. καρδία συντετριμμένην και τεταπεινωμένην, ο Θεός, ουκ εξουδενώσει.
Αγάθυνον, Κύριε, εν τη ευδοκία σου την Σιών, και οικοδομηθήτω τα τείχη Ιερουσαλήμ.
Τότε ευδοκήσεις θυσίαν δικαιοσύνης, αναφοράν και ολοκαυτώματα. τότε ανοίσουσιν επί το θυσιαστήριόν σου μόσχους.

**Ο κανών ου η ακροστιχίς. «Αθανάσιε χάριν μοι δίδου». Γερασίμου.**

**Ωδή α’. Ήχος πλ. δ’. Υγραν διοδεύσας.**

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Αθάνατον εύκλειαν και ζωήν, εύρων Ιεράρχα, καθικέτευε εκτενώς, θανάτου ρυσθήναι αμαρτίας, τους σε τιμώντας σοφέ Αθανάσιε.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**

Θεράπων Κυρίου θεοειδής, πέλων Ιεράρχα, τη οσία σου βιοτή, αυτόν Αθανάσιε δυσώπει, ρύεσθαι πάσης ημάς περιστάσεως.

**Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι**

Αγγέλων συνόμιλος γενονώς, αμέμπτως βιώσας, Αθανάσιε ιερέ, δαιμόνων απάσης επηρείας, ρύου ημάς τη θερμή προστασία σου.

**Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν. Θεοτοκίον.**
Ναός φωτοστόλιστος και λαμπρός, του πάντων Δεσπότου, εχρημάτισας αληθώς, Κεχαριτωμένη Θεοτόκε, αυτόν τεκούσα ατρέπτως εν σώματι.

**Ωδή γ'. Ουρανίας αψίδος.**
**Άγιε του Θεού πρέσβευε υπέρ ημών**
Από πάσης ανάγκης, και πειρασμών Άγιε, και επηρειών πολυτρόπων, του πολεμήτορος ατρώτους φύλαττε, ταις ιεραίς σου πρεσβείαις, Πάτερ Αθανάσιε, τους σε γεραίροντας.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**
Συσχεθείς αμαρτίαις, και ρυπαροίς πάθεσι, πλήθει συμφορών και κινδύνων, ήδη ετάζομαι· διό προστρέχω σοι, και εκβοώ εκ καρδίας, Πάτερ Αθανάσιε τούτων με λύτρωσαι.

**Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι**
Ιλασμόν ημίν αίτει, και των παθών ίασιν, και πλημμελημάτων παντοίων, την απολύτρωσιν, τοις καταφεύγουσι, τη ση θερμή αντιλήψει, Πάτερ Αθανάσιε, Αγγέλων σύσκηνε.

**Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν. Θεοτοκίον.**
Εξ αγνών σου αιμάτων, ο του παντός αίτιος, σάρκα προσλαβών ασυγχύτως, δι' αγαθότητα, Παρθένε Άχραντε, διπλούς εκ σου κόσμω ώφθη, και ημάς ερρύσατο, της κατακρίσεως.

Διάσωσον ημάς εκ πάσης ανάγκης και επηρείας Ιεράρχα θαυματουργέ Αθανάσιε, τους προσιόντας τη θεία σου προστασία.

Επίβλεψον εν ευμενεία, πανύμνητε Θεοτόκε, επί την εμήν χαλεπήν του σώματος κάκωσιν και ίασαι της ψυχής μου το άλγος.
**Αίτησις και το Κάθισμα.**

**Ήχος β'. Πρεσβεία θερμή.**
Πρεσβεία τη ση, εν πίστει καταφεύγοντες, παθών χαλεπών, λαμβάνομεν την ίασιν, παμμάκαρ Αθανάσιε, των Αγίων Αγγέλων συνόμιλε· συ γαρ παρέχεις απαύστως ημίν, ταις σαις ικεσίαις χάριν άφθονον.

**Ωδή δ'. Εισακήκοα Κύριε.**
**Άγιε του Θεού πρέσβευε υπέρ ημών**
Χριστόν Πάτερ ικέτευε, πάσης δυσχέρειας ημάς λυτρώσασθαι, Αθανάσιε μακάριε, τους ειλικρινώς σε μακαρίζοντας.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**
Ασθενών ιατήριον, και παραμυθία ημών εν θλίψεσιν, Αθανάσιε μακάριε, γένοιτο η θεία σου αντίληψις.

**Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι**
Ρώσιν βλύζει εκάστοτε, η των σων λειψάνων σορός μυρίπνοος, Αθανάσιε τοις σπεύδουσι, προς την ταχυτάτην σου βοήθειαν.

**Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν. Θεοτοκίον.**
Ίασαί μου τον καύσωνα, της ψυχής τη δρόσω της σης χρηστότητος, Θεοτόκε Αειπάρθενε, των απηλπισμένων παραμύθιον.

**Ωδή ε΄. Φώτισον ημάς.**
**Άγιε του Θεού πρέσβευε υπέρ ημών**
Νέκρωσον εχθρού, καθ' ημών πικρά βουλεύματα, Αθανάσιε τη ση επισκοπή, και ειρήνην ημίν αίτησαι δεόμεθα.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**
Μέγας αρωγός, εν εσχάτοις χρόνοις πέφηνας, Ορθοδόξων Αθανάσιε σοφέ· δια τούτο τη ση χάριτι προστρέχομεν.

**Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι**
Όμβρησον ημίν, Αθανάσιε Πατήρ ημών ευσπλαγχνίας θεϊκής επιρροάς, ταις θερμαίς σου ικεσίαις προς τον Κύριον.

**Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν. Θεοτοκίον.**
Ίθυνον ημάς, Θεοτόκε Αειπάρθενε, προς οδόν των ενταλμάτων του Χριστού, ίνα λάβωμεν πταισμάτων την συγχώρησιν.

**Ωδή στ΄. Την δέησιν.**

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**
Δοχείον, του Παρακλήτου εδείχθης, Αθανάσιε λαμπρότητι βίου· όθεν θαυμάτων εδέξω την χάριν, ως των Αγίων των πάλαι ισότιμος· μεθ' ων δυσώπει εκτενώς, ημίν δούναι πταισμάτων συγχώρησιν.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**
Ιάσεις, και θαυμαστήν ευωδίαν, η αγία σου σορός αναβλύζει, τη θεϊκή χορηγία θεόφρον, και απελαύνει ακάθαρτα πνεύματα, και δυσωδίαν των παθών, και ευφραίνει ημών την διάνοιαν.

**Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι**
Δυνάμει, του Παρακλήτου τη θεία, των θαυμάτων αναβλύζων την χάριν, θαυματουργέ Αθανάσιε Πάτερ, πιστών πληροίς συμπαθώς άπαν αίτημα· διό κηρύττομεν αεί, την θερμήν προς ημάς σου βοήθειαν.

**Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν. Θεοτοκίον.**
Πάντων, δημιουργός και Δεσπότης, σαρκωθείς εκ των αγνών σου αιμάτων, σε ανωτέραν ανέδειξε πάντων, και των Αγγέλων βασίλισσαν Πάναγνε· διό ανύψωσον κάμε, εκ φθοράς προς ζωήν την ενάρετον.

Διάσωσον, ημάς εκ πάσης ανάγκης και επηρείας, Ιεράρχα θαυματουργέ Αθανάσιε, τους προσιόντας τη θεία σου προστασία.

Άχραντε, η δια λόγου τον Λόγον ανερμηνεύτως, επ’ εσχάτων των ημερών τεκούσα, δυσώπησον, ως έχουσα μητρικήν παρρησίαν.
**Αίτησις και το Κοντάκιον. Ήχος β’. Τοις των αιμάτων σου.**
Ως Ιεράρχης Χριστού ενθεώτατος, και προς αυτόν ημών πρέσβυς θερμότατος, σοφέ Αθανάσιε Όσιε, πάσης φθοράς και ανάγκης απάλλατε, τους σπεύδοντας Πάτερ τη σκέπη σου.

**Προκείμενον.** Οι Ιερείς σου Κύριε ενδύσονται...
**Στίχ.:** Μακάριος ανήρ ο φοβούμενος...

**Ευαγγέλιον. Εκ του κατά Ιωάννην (ι’ 1-9).**
Είπεν ο Κύριος προς τους εληλυθότας προς αυτόν Ιουδαίους. Αμήν αμήν λέγω υμίν. Ο μη εισερχόμενος δια της θύρας εις την αυλήν των προβάτων, αλλά αναβαίνων αλλαχόθεν, εκείνος κλέπτης εστί και ληστής ο δε εισερχόμενος δια της θύρας, ποιμήν έστι των προβάτων. Τούτω ο θυρωρός ανοίγει, και τα πρόβατα της φωνής αυτού ακούει, και τα ίδια πρόβατα καλεί κατ’ όνομα, και εξάγει αυτά. Και όταν τα ίδια πρόβατα εκβάλη, έμπροσθεν αυτών πορεύεται, και τα πρόβατα αυτώ ακολουθεί, ότι οίδασι την φωνήν αυτού. Αλλοτρίω δε ου μη ακολουθήσωσιν, αλλά φεύξονται απ’ αυτού, ότι ουκ οίδασι των αλλοτρίων την φωνήν. Ταύτην την παροιμίαν είπεν αυτοίς ο Ιησούς εκείνοι δε ουκ έγνωσαν τίνα ην ά ελάλει αυτοίς. Είπεν ουν πάλιν αυτοίς ο Ιησούς. Αμήν αμήν λέγω υμίν,

ότι εγώ ειμί η θύρα των προβάτων. Πάντες, όσοι ήλθον προ εμού, κλέπται εισί και λησταί αλλ' ουκ ήκουσαν αυτών τα πρόβατα. Εγώ ειμί ή θύρα δι' εμού εάν τις εισέλθη, σωθήσεται, και εισελεύσεται, και εξελεύσεται, και νομήν ευρήσει.

**Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι**
Ταις του Ιεράρχου πρεσβείες Ελεήμον, εξάληψον τα πλήθη των εμών εγκλημάτων.

**Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν.**
Ταις της Θεοτόκου πρεσβείες Ελεήμον, εξάληψον τα πλήθη των εμών εγκλημάτων
**Στίχ.** Ελέησόν με, ο Θεός, κατά το μέγα Έλεός Σου, και κατά το πλήθος των οικτιρμών Σου, εξάλειψον το ανόμημά μου
**Προσόμοιον. Ήχος πλ. β'. Όλην αποθεμένοι».**
Άστρον ως νεόφωτον, τη του Χριστού Εκκλησία Πάτερ Αθανάσιε, εν εσχάτοις έτεσιν ανατέταλκας, και πληροίς άπαντας, φωτισμού αΰλου· δια τούτο σου δεόμεθα· Παθών ζοφώσεως, και επηρειών του αλάστορος, και πειρασμών και θλίψεων, και πολυειδών περιστάσεων, φύλαττε ατρώτους, ημάς τους προσιόντας σοι πιστώς, και των πταισμάτων συγχώρησιν, αίτει ημίν Άγιε.

**Ο Ιερεύς:** Σώσον ο Θεός.....

**Ωδη ζ'. Οι εκ της Ιουδαίας.**
**Άγιε του Θεού πρέσβευε υπέρ ημών**
Υπέρ πάντων δυσώπει, των πιστώς προσιόντων τη θεία λάρνακι, των θείων σου λειψάνων, και ευλαβώς αιτούντων, ιερέ Αθανάσιε, την σην θερμήν αρωγήν, και θείαν προστασίαν.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**
Γεωργείν ημίν δίδου, τον σωτήριον φόβον δύναμιν άνωθεν, ως αν εν ευσεβεία, βιούντες εναρέτως, Αθανάσιε ψάλωμεν· των Πατέρων ημών, Θεός ευλογητός εί.

**Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι**
Εκ πικρών συμπτωμάτων, και ποικίλων κινδύνων, πόνων και θλίψεων, και πάσης δυσπραγίας, απήμονας συντήρει, Αθανάσιε Όσιε, τους προσιόντας θερμώς, ταις σαις πρεσβείαις Πάτερ.

**Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν. Θεοτοκίον.**
.Ρυπωθείς τη κακία, εδουλώθην Παρθένε τοις παραπτώμασιν αλλά τη ση

πρεσβεία, προστρέχω και βοώ σοι· της παρούσης με θλίψεως, απάλλαξόν με Αγνή, τον ταπεινόν σου δούλον.

**Ωδή η'. Τον Βασιλέα.**
**Άγιε του Θεού πρέσβευε υπέρ ημών**
Ασθενημάτων, και πάσης άλλης ανάγκης, Αθανάσιε ατρώτους διατήρει, τους υπερυψούντας, Χριστόν εις τους αιώνας.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**
Σε Γορτυνία, έφορον θείον πλουτούσα, Αθανάσιε προστρέχει τη σορώ σου, και λαμβάνει Πάτερ, των αιτημάτων λύσιν.

**Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι**
Ίασαι Πάτερ, κατά ψυχήν τε και σώμα, τους προσπίπτοντας τοις θείοις σου λειψάνοις, και εξαιτουμένους, την σην επιστασίαν.

**Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν. Θεοτοκίον.**
Μήτηρ Κυρίου, και Αειπάρθενε Κόρη, την ρυπώσαν μου απόπλυνον καρδίαν, ρείθροις Θεοτόκε, του θείου σου ελέους.

**Ωδή θ'. Κυρίως θεοτόκον.**
**Άγιε του Θεού πρέσβευε υπέρ ημών**
Ο νέος εωσφόρος, Χριστού της Εκκλησίας, αθανασίας τω φέγγει καταύγαστον, ω Αθανάσιε Πάτερ τους σε γεραίροντας.

**Άγιε του Θεού πρέσβευε υπέρ ημών**
Υπέρτερον τον νουν μου, δείξον Ιεράρχα, της χαμαιζήλου ροπής τε και σχέσεως, και τούτον ύψωσον Πάτερ προς τον θείον έρωτα.

**Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι**
Υμνούντες σου τον βίον, Πάτερ σοι βοώμεν· βιωτικών ημάς ρύου στενώσεων, και καθοδηγεί προς τρίβον ημάς σωτήριον.

**Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν. Θεοτοκίον.**
Υψίστου θείε θρόνε, Κεχαριτωμένη, Υπεραγία Παρθένε Πανύμνητε, της συνεχούσης ανάγκης με απολύτρωσαι.

Άξιον εστιν ως αληθώς μακαρίζειν Σε την Θεοτόκον, την αειμακάριστον και παναμώμητον και μητέρα του Θεού ημών.
Την τιμιωτέραν των Χερουβίμ, και ενδοξοτέραν ασυγκρίτως των Σερουφείμ, την αδιαφθόρως, Θεόν Λόγον τεκούσαν. την όντως Θεοτόκον, Σε μεγαλύνομεν.

**Και τα Μεγαλυνάρια.**

Χαίροις Αθανάσιε ιερέ, των πάλαι Αγίων, ο ισότιμος εν παντί· χαίροις ο πηγάζων, θαυμάτων θεία ρείθρα, τοις πίστει προσιούσι, τη προστασία σου.

Χριστιανουπόλεως ιερός, ποιμενάρχης ώφθης, Αθανάσιε αληθώς, και καλώς ποιμάνας, την λογικήν σου ποίμνην, της αθανάτου δόξης, χαίρων ηξίωσαι.

Χαίρει η Προδρόμου θεία Μονή, και της Γορτυνίας η περίοικος εν Χριστώ, σχούσα Ιεράρχα, τα θεία λείψανά σου, αγιασμού εστίαν, και πάσης χάριτος.

Βρύει των λειψάνων σου η σορός, οσμήν ουρανίαν, και ιάσεις παντοδαπάς, και παρέχει πάσι, χαράν και ευφροσύνην, τοις σε υμνολογούσιν, ω Αθανάσιε.

Των μελλόντων πάσι τρανώς δηλοί, την έκβασιν όντως, Αθανάσιε τω τριγμώ, η σεπτή σορός σου, και εξιστά τους πάντας, τοις θαύμασί σου Πάτερ, εν οις δεδόξασαι.

Έχων παρρησίαν προς τον Χριστόν, οία Ιεράρχης, θεοφόρε θεοειδής, πρέσβευε απαύστως, υπέρ των σε τιμώντων, και πόθω εξ αιτούντων, την σην αντίληψιν.

Πάσαι των Αγγέλων αι στρατιαί, Πρόδρομε Κυρίου, Αποστόλων η Δωδεκάς, οι Άγιοι Πάντες, μετά της Θεοτόκου, ποιήσατε πρεσβείαν, εις τω σωθήναι ημάς.
Άγιος ο Θεός, άγιος Ισχυρός, άγιος Αθάνατος ελέησον ημάς (γ΄).
Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι, και νύν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.
Παναγία Τριάς, ελέησον ημάς. Κύριε, ιλάσθητι ταις αμαρτίαις ημών. Δέσποτα, συγχώρησον τας ανομίας ημίν. Άγιε, επίσκεψαι και ίασαι τας ασθενείας ημών ένεκεν του ονόματός σου. Κύριε, ελέησον. Κύριε ελήσον. Κύριε ελέησον.
Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι. Και νυν και αεί και εις τους αιώνας των αιώνων.
Πάτερ ημών ο εν τοις ουρανοίς αγιασθήτω το όνομά σου . Ελθέτω η βασιλεία σου. Γεννηθήτω το θέλημά σου, ως εν ουρανώ και επίτης γης. Τον άρτον ημών τον επιούσιον δος ημίν σήμερον. Και άφες ημίν τα οφειλήματα ημών ως και ημείς αφίεμεν τοις οφειλέταις ημών. Και μη εισενέγκης ημάς εις πειρασμόν, αλλά ρύσαι ημάς από του πονηρού.
**Ο Ιερεύς:** Ότι σου εστιν η βασιλεία και η δύναμις και η δόξα του Πατρός και του Υιού και του Αγίου Πνεύματος , νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.
**Ήχος β’. Ότε εκ του ξύλου.**
Πάντας τους προσπίπτοντας πιστώς, τοις σοις μυριπνόοις λειψάνοις, και τη

Εικόνι σου, Πάτερ Αθανάσιε Αρχιερεύ του Χριστού, πάσης ρύσαι κακώσεως, και παθών παντοίων, και ποικίλων θλίψεων, και περιστάσεων, πάσιν ευπραγίαν δε δίδου, τη ση προς Χριστόν μεσιτεία, και πταισμάτων άφεσιν δεόμεθα.

**Δίστιχον.**

Αθανάσιε την Γερασίμου ταύτην Δέησιν δέξαι και τούτω αίτει χάριν.

**Απολυτίκιον του Αγίου Αθανασίου Χριστιανουπόλεως.**

**Ήχος α'. Της ερήμου πολίτης.**

Θεαρέστως βιώσας ποιμενάρχης θεόληπτος, Χριστιανουπόλεως ώφθης ιερέ Αθανάσιε· διό των σων λειψάνων η σορός, πηγάζει αληθή αγιασμόν, και παρέχει πάσαν χάριν τοις ευλαβώς, προσπίπτουσι και κράζουσι· δόξα τω σε δοξάσαντι Χριστώ, δόξα τω σε θαυμαστώσαντι, δόξα τω ενεργούντι δια σου, πάσιν ιάματα.